**καλλιμάχειον**

**1.** – ⏑ – × – ⏑ – × – ⏑ – × – ⏑ – × – ⏑ ⏒

Schol. A in Hephaest. 123. 19 sqq. τροχαικὸν πεντάμετρον καταληκτικὸν τὸ καλούμενον καλλιμάχειον, ποδῶν ἁπλῶν ἐννέα καὶ συλλαβῆς. καλῶς δὲ εἶπε (Hephaest. 18. 20)·

καίπερ ὄντι ὑπερμέτρῳ

ἐν γὰρ τῷ πενταμέτρῳ ἔχοντι δέκα πόδας εὑρίσκονται τετράχρονοι καὶ ὑπερβαίνουσι τοὺς τριακονταδύο χρόνους.

Trich. 373. 32 sqq. οὐ μὴν ἀλλὰ καὶ τῷ καταληκτικῷ πενταμέτρῳ [*scil.* τροχαικῷ], καίπερ ὑπερμέτρῳ ὄντι, πολλοὶ χρώμενοι εὕρηνται· καὶ Καλλίμαχος μᾶλλον· διὸ καὶ καλλιμάχειον λέγεται. ἔστι δὲ τοιοῦτον οἷον τό·

ἃ χοροῖς εὐαγέεσσιν ἀγγέλων οὐρανίων ἐνήλασας.

**2.** ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏒

Trich. 384. 21 sqq. περὶ λογαοιδικοῦ. ἔστι καὶ λογαοιδικὸν ὡς εἴπομεν ἀναπαιστικόν, ὅπερ καταρχὰς μὲν ἀναπαίστους τέσσαρας δέχεται, μετὰ δὲ τούτους ἕνα ἴαμβον καὶ μακρὰν συλλαβήν, ὡς εἶναι τὸν τελευταῖον πόδα βακχεῖον, ἐκ βραχείας μιᾶς καὶ δύο μακρῶν συλλαβῶν. παράδειγμα τούτου τό·

μόρον οὐ νοέοντες ἐφιστάμενον κατάντην.

καλεῖται δὲ τοῦτο ἀρχεβούλειον, ἅτε δὴ τοῦ Θηβαίου ποιητοῦ Ἀρχεβούλου κατακόρως αὐτῷ χρησαμένου. διὰ τὴν αὐτὴν αἰτίαν καὶ καλλιμάχειον ὀνομάζεται. κατὰ διποδίαν δὲ μετρούμενον τρίμετρόν ἐστι λογαοιδικὸν ἀναπαιστικόν, εἰς συλλαβὴν καταληκτικόν. δι᾽ ἣν δὲ αἰτίαν λογαοιδικόν, εἴρηται ἡμῖν ἐν τοῖς ὄπισθεν. [*L.S.*]